UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Theodosio Episcopo. 245.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Εὐδαίμονι. σμγ.

Σὺ μὲν οὐ κατὰ λόγον ἔφης εἰρῆσθαι τὸ αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἐγὼ δὲ οὐ μόνον κατὰ λόγον, ἀλλὰ καὶ θαυμασίως αὐτὸ γεγράφθαι φημὶ, καὶ ὅπως ἄκουε. ἡ γυνὴ παρὰ τὴν γονὴν εἴρηται. αὕτη γοῦν κληθήσεται γυνή. τουτέστι γονίμη, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς τοῦ μέλλοντος γόνιμον ποιεῖν ἐλήφθη. τὴν γὰρ παρθένον ὁ ἀνὴρ συναπτόμενος γυναῖκα, τουτέστι γόνιμον ποιεῖ. διὸ καὶ παρ' ἀθηναίοις ἡ συνάφεια ἡ κατὰ νόμον, ἐπ' ἀρότρῳ παίδων ἐλέγετο γίνεσθαι, καὶ γονεῖς οἱ τεκόντες καλοῦνται. τοὺς γὰρ λέγοντας παρὰ τὰ γυῖα, τουτέστι τὰ μέλη, εἰρῆσθαι, οὐδὲ λόγου ἀξιωτέον. τῷ μὲν γὰρ μέλει καὶ μέρει τὸ ὅλον καὶ τὸ πᾶν ἀντιδιαστέλλεται. τῇ δὲ γυναικὶ ὁ ἀνὴρ, τουτέστι τῷ σπείροντι γεωργῷ καὶ ἀνορύττοντι τὴν γυναικείαν χώραν, παρ' ὃ καὶ ἀνὴρ, ὡς οἶμαι, λέγεται. τὸ γὰρ ἄνθρωπος κοινὸν αὐτοῖς ἐστὶν ὄνομα, ἡ σπειρομένη γῆ, καὶ διὰ τοῦτο γόνιμος γινομένη. τῶν πρός τι γὰρ ἡγοῦμαι, καὶ τοῦτ' εἶναι. ἅμα γὰρ εἴποις ἄνδρα, καὶ γυνὴ τῇ ἐννοίᾳ συνεισέρχεται. ὡς καὶ πατρὸς ῥηθέντος, ὁ παῖς συνυπακούεται, καὶ δεσπότου λεχθέντος, ὁ δοῦλος συνεπινοεῖται.

Διοσκόρῳ. σμδ.

Χρὴ μὴ μόνον ὑπὲρ ὧν εὐηργετήθης χάριν εἰδέναι, ἀλλὰ καὶ ὑπὲρ ὧν κωλύῃ ἀδικεῖν. καὶ τοῦτο γὰρ εἰ καὶ παράδοξόν σοι φαίνεται, εὐεργεσίας εἶδος μέγιστον τυγχάνει.

Θεοδοσίῳ ἐπισκόπῳ. σμε.

Εἰκότως, ὦ θαυμάσιε, τὴν πηλουσιωτῶν νῦν καταθρηνεῖς πόλιν, καί τοι πρότερον μακαρίσας. ὅτε μὲν γὰρ οἷα δὴ μήτηρ ἐπ' ἀριστοτόκοις παιδὸς ὠδῖσι, τῇ τοῦ ἀοιδίμου Αμμωνίου τοῦ

Eudæmoni. 243.

Tu quidē haud rectè illud dictū eſſe cōtendis. Ipſa vocabitur * quia de viro ſumpta eſt: ego verò nō modò rectè, ſed etiam eximio atque admirando modo hoc ſcriptum fuiſſe aio, &, qua ratione ductus audi. ἡ γυνὴ παρὰ τὴν γονὴν, hoc eſt à genitura dicta eſt. Ipſa igitur * vocabitur, hoc eſt ad gignendū idonea: quia ex viro ſuo, qui eam fœcundam redditurus eſt, ſumpta eſt. Vir quippe virginem ſibi matrimonio copulans, γόνιμον, hoc eſt fœcundā γυναῖκα reddit. Ob ídque etiam apud Athenienſes legitimus congreſſus arandorum filiorum cauſa fieri dicebatur: ac γονεῖς, parentes appellantur. Nam ne audiendi quidē hi ſunt, qui παρὰ τὰ γυῖα, hoc eſt ob membra, ab hoc nomine appellatos eſſe dicunt. Membro enim & parti totum & omne opponitur: hoc eſt ſerenti agricolæ, ac fœminam regionem effodienti. (Vnde etiam, ἀνὴρ, vt opinor, nomen traxit, nam alioqui hominis vocabulum vtrique commune eſt) terra ſata, proptereáque fœcunda exiſtens. Hanc quippe vocem ex earū numero eſſe arbitror, quæ ad aliquid referuntur. Nam ſimulátque virum dixeris, vxor quoque animo ſtatim occurrit, quemadmodum ſcilicet & cùm patrem dixiſti, filius vnà intelligitur, & cùm dominum dixiſti, ſeruus etiam vnà cogitatur.

Dioſcoro. 244.

Non modò pro acceptis beneficiis, ſed etiam pro eo quòd iniuriam inferre prohibitus es, gratiam te Deo habere conuenit. Nam hoc quoque, etiamſi tibi mirum atque ab hominum opinione alienum videtur, maximum beneficij genus eſt.

Theodoſio Epiſcopo. 245.

Haud ab re, vir admirande, Peluſienſem vrbem, quam priùs beatam prædicabas, nunc luctu ac lachrymis proſequeris. Nam cùm, vt mater ob felicē filij partum, clari viri Ammonij, veri Epiſcopi præfectura

condecorabatur, meritò quoque felicitatis nomine prædicabatur, vt quæ & diuinis & humanis viris referta & cumulata eſſet. Poſteaquàm autem ſceleſtæ ac peregrinæ, atque humanam formam præferenti belluæ ipſius adminiſtratio cõmiſſa eſt, atque ipſa in extremam ſolitudinem corruit, optimo iure vicẽ ipſius lugere conuenit. Etenim illius tempeſtate, quemadmodũ τῶ σμήνοις reginã in roſcidis pratis apes circumſedent, ſic omnes eum fouebãt, ac circũ eum choros agitabant. Nam re vera mellifluo colloquio & voce præditus erat, eáſque illecebras habebat, quibus omniũ animos ſibi deuinciret. At huius tempore, ne quid grauius dicã, qui reliqui facti ſunt, læto ac feſtiuo habitu commutato calamitates ſuas deplorant. Huius autem rei hanc cauſam eſſe aiunt, quòd cùm ille Eccleſiæ clauum teneret, diuino altari ſanctitas ſua cõſtabat, piis nimirum ſacerdotibus illud cingentibus atque complectentibus: hoc autem antiſtitem agente, impuri ac ſcelerati in ſacrum ordinem cooptantur, probi contrà expelluntur. Quocirca quia neceſſaria neglecta ſunt, cætera quoque omnia labefactata & corrupta ſunt. Nã cùm adyta ipſa ab impuris & nefariis hominibus obterantur, meritò quoque vrbs ipſa pleriſque inuia effecta eſt. Quamobrem, ô ſacrum caput, non eam duntaxat defle, verùm etiam, vt ad veterem virtutem ac felicitatem aſcẽdat, à Deo precibus cõtende.

ὄντος ἐπισκόπου προεστασίᾳ ἐνηβρύνετο, εἰκότως ἐμακαρίζετο, ἅτε δὴ καὶ τῶν θείων, καὶ τῶν ἀνθρωπίνων ἀγαθῶν ἀνάπλεως οὖσα. ὅτε δὲ μιαρὸν καὶ ξένον καὶ ἀνθρωπόμορφον θηρίον τὴν οἰκονομίαν αὐτῆς ἐνεχειρίσθη, καὶ εἰς ἐσχάτην ἐρημίαν κατηνέχθη, εἰκότως ὀλοφυρμῶν ἐστὶν ἀξία. ἐπ' ἐκείνου μὲν γὰρ, ὥσπερ αἱ τὴν βασιλίδα τοῦ σμήνους ἐν εὐδρόσοις λειμώνων ἄνθεσι περιϊζάνουσι μέλιτται, οὕτω πάντες αὐτὸν περιεῖπον, καὶ περὶ αὐτὸν ἐχόρευον. ὄντως γὰρ ἦν καὶ τὴν ὁμιλίαν, καὶ τὴν φωνὴν μελισταγὴς, καὶ χειρωτικὸν ἐκέκτητο θέλγητρον. ἐπὶ δὲ τούτου, ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν, οἱ ὑπολειφθέντες τὸ πανηγυρικὸν ἀμείψαντες σχῆμα καταθρηνοῦσι τὰς σφῶν συμφοράς. τὸ δὲ αἴτιον, ὥς φασι, τουτέστι, τὸ ἐπ' ἐκείνου μὲν τὸ θεῖον θυσιαστήριον τῆς προσηκούσης τυγχάνειν ἁγιστείας, ἱερέων αὐτὸ περιεπόντων εὐαγῶν. ἐπὶ δὲ τούτου τοὺς μὲν ἐναγεῖς ἐγκρίνεσθαι, τοὺς σπουδαίους δ' ἀπελαύνεσθαι, ὡς τῶν ἀναγκαίων τοιγαροῦν ἐρρᾳθυμημένων, καὶ τὰ ἄλλα πάντα διέφθαρται. τῶν γὰρ ἀδύτων ὑπὸ μιαρῶν ἀνθρώπων πατουμένων, ἄβατος καὶ ἡ πόλις εἰκότως τοῖς πολλοῖς γεγένηται. μὴ τοίνυν, ὦ ἱερὰ κεφαλὴ, καταθρήνει μόνον αὐτὴν, ἀλλὰ καὶ εὔχου, ὅπως εἰς τὴν ἀρχαίαν ἀρετήν τε καὶ εὐημερίαν ἀναδράμοι.

Petro. 246.

Pax, ſi adnexam iuſtitiam habeat, diuina quædam res eſt. Si autem altera ſine altera ſit, virtutis pulchritudinẽ labefactat. Nam & prædonibus inter ſe, & lupis pax eſt, illis nimirum in hominum perniciem, his autem in ouium exitium: at pacem hanc minimè appellarim quæ iuſtitia minimè ornata eſt. At ſi hæc acceſſerit, tum demum pax verè vocabitur. Vnde etiam Chriſtus dixit, Non veni mittere pacem ſuper terram, ſed gladium. Nam quòd nõ omnem pacem, ſed eam duntaxat, quæ

Πέτρῳ. σμϛ.

Ἡ εἰρήνη τῇ δικαιοσύνῃ συγκεκραμένη θεῖόν ἐστι χρῆμα. εἰ δὲ θατέρα ἄνευ τῆς ἑτέρας εἴη, λυμαίνεται τῷ τῆς ἀρετῆς κάλλει. ἔστι μὲν γὰρ εἰρήνη καὶ λῃσταῖς πρὸς ἑαυτοὺς καὶ λύκοις. τοῖς μὲν ἐπὶ λύμῃ τῶν ἀνθρώπων. τοῖς δὲ ἐπ' ὀλέθρῳ τῶν προβάτων, ἀλλ' οὐκ ἂν καλέσαιμι ταύτην εἰρήνην τὴν τῇ δικαιοσύνῃ μὴ κοσμουμένην. εἰ δ' αὐτῇ συνέλθοι, ὄντως εἰρήνη κεκλήσεται. διὸ καὶ ὁ Χριστὸς ἔφη, οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν ἀλλὰ μάχαιραν,